22072951

IB DIPLOMA PROGRAMME
PROGRAMME DU DIPLÔME DU BI
PROGRAMA DEL DIPLOMA DEL BI

**CLASSICAL GREEK**
**HIGHER LEVEL**
**PAPER 1**

Wednesday 16 May 2007 (afternoon)

2 hour

---

INSTRUCTIONS TO CANDIDATES

- Do not open this examination paper until instructed to do so.
- Answer both Section A and Section B.
- The use of dictionaries is permitted for paper 1.


© IBO 2007

**SECTION A** ***[35 marks]***

*Translate into English the section of the following passage indicated between the asterisks. A translation of the rest of the passage appears on the facing page.*

**1. Menon, the Thessalian, is willing to behave dishonourably if he can enjoy power and prosperity.**

**21** Μένων δὲ ὁ Θετταλὸς δῆλος ἦν ἐπιθυμῶν μὲν πλουτεῖν ἰσχυρῶς, ἐπιθυμῶν δὲ ἄρχειν, ὅπως πλείω λαμβάνοι, ἐπιθυμῶν δὲ τιμᾶσθαι, ἵνα πλείω κερδαίνοι

* φίλος τε ἐβούλετο εἶναι τοῖς μέγιστα δυναμένοις, ἵνα ἀδικῶν μὴ διδοίη δίκην. **22** ἐπὶ δὲ τὸ κατεργάζεσθαι ὧν ἐπιθυμοίη συντομωτάτην ᾤετο ὁδὸν εἶναι διὰ τοῦ ἐπιορκεῖν τε καὶ ψεύδεσθαι καὶ ἐξαπατᾶν, τὸ δ᾽ ἁπλοῦν καὶ ἀληθὲς τὸ αὐτὸ τῷ ἠλιθίῳ εἶναι. **23** στέργων δὲ φανερὸς μὲν ἦν οὐδένα, ὅτῳ δὲ φαίη φίλος εἶναι, τούτῳ ἔνδηλος ἐγίγνετο ἐπιβουλεύων. καὶ πολεμίου μὲν οὐδενὸς κατεγέλα, τῶν δὲ συνόντων πάντων ὡς καταγελῶν ἀεὶ διελέγετο. **24** καὶ τοῖς μὲν τῶν πολεμίων κτήμασιν οὐκ ἐπεβούλευε· χαλεπὸν γὰρ ᾤετο εἶναι τὰ τῶν φυλαττομένων λαμβάνειν· τὰ δὲ τῶν φίλων μόνος ᾤετο εἰδέναι ῥᾷστον ὂν ἀφύλακτα λαμβάνειν. **25** καὶ ὅσους μὲν αἰσθάνοιτο ἐπιόρκους καὶ ἀδίκους ὡς εὖ ὡπλισμένους ἐφοβεῖτο, τοῖς δὲ ὁσίοις καὶ ἀλήθειαν ἀσκοῦσιν ὡς ἀνάνδροις ἐπειρᾶτο χρῆσθαι.*

**26** ὥσπερ δέ τις ἀγάλλεται ἐπὶ θεοσεβείᾳ καὶ ἀληθείᾳ καὶ δικαιότητι, οὕτω Μένων ἠγάλλετο τῷ ἐξαπατᾶν δύνασθαι, τῷ πλάσασθαι ψεύδη, τῷ φίλους διαγελᾶν· τὸν δὲ μὴ πανοῦργον τῶν ἀπαιδεύτων ἀεὶ ἐνόμιζεν εἶναι.

XENOPHON *Anabasis* 2.6.21-6

τὸ αὐτὸ (section 22, line 7) + dative = *the same as*

Menon the Thessalian was manifestly eager for enormous wealth, eager as well to hold command (in order to get more wealth), and eager for honour (in order to increase his gains).

... And just as a man prides himself upon piety, truthfulness and justice, so Menon prided himself upon ability to deceive, the fabrication of lies, and the mocking of friends;  but the man who was not a rascal he always thought of as belonging to the uneducated.

Carleton L. Brownson (adapted)

**SECTION B** ***[5 marks]***

*Answer* ***all*** *the following questions, which relate to the passage in Section A.*

**2.** Give **three** examples of paradox in this account. *[3 marks]*

**3.** Suggest **two** moral attitudes implicitly suggested by this passage. *[2 marks]*